www.e-rara.ch

# Sancti Iustini philosophi et martyris opera

## Iustinus

## Lutetiae Parisiorum, 1615

**Stiftung der Werke von C.G.Jung, Zürich**

Shelf Mark: Online

Persistent Link: https://doi.org/10.3931/e-rara-9781

Hermiae philosophi gentilium philosophorum irrisio.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΕΡΜΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΔΙΑΣΥΡΜΟΣ ΤΩΝ ΕΞΩ ΦΙΛΟΣΟΦΩΝ.

ΠΑΥΛΟΣ ὁ μακάριος ἀπόστολος, τοῖς τὴν Ἑλλάδα τὴν Λακωνικὴν περιοικοῦσι Κορινθίοις γράφων, ὦ ἀγαπητοί, ἀπεφήνατο λέγων· ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ, οὐκ ἀσκόπως εἰπών. δοκεῖ γάρ μοι τὴν ἀρχὴν εἰληφέναι ἀπὸ τῆς τῶν ἀγγέλων ἀποστασίας, δι' ἣν αἰτίαν οὐδὲ σύμφωνα, οὐδὲ ὁμόλογα οἱ φιλόσοφοι πρὸς ἀλλήλους λέγοντες, ἐκτίθενται τὰ δόγματα. οἱ μὲν γὰρ φασὶν αὐτῶν ψυχὴν εἶναι τὸ πῦρ, ὡς Δημόκριτος, τὸν ἀέρα, οἱ Στωϊκοί. οἱ δὲ τὸν νοῦν. οἱ δὲ τὴν κίνησιν Ἡράκλειτος, οἱ δὲ τὴν ἀναθυμίασιν, οἱ δὲ δύναμιν ἀπὸ τῶν ἄστρων ῥέουσαν, οἱ δὲ ἀριθμὸν κινητικὸν, Πυθαγόρας· οἱ δὲ ὕδωρ γονοποιὸν Ἵππων, οἱ δὲ στοιχεῖον ἀπὸ στοιχείων, οἱ δὲ ἁρμονίαν Δείναρχος, οἱ δὲ τὸ αἷμα Κριτίας, οἱ δὲ τὸ πνεῦμα, οἱ δὲ τὴν μονάδα Πυθαγόρας, καὶ οἱ παλαιοὶ τὰ ἐναντία. πόσοι λόγοι περὶ τούτων; ἐπιχειρήσεις πόσαι; πόσαι δὲ καὶ σοφιστῶν ἐριζόντων μᾶλλον, ἢ τἀληθὲς εὑρισκόντων; ἀλλὰ δὴ ἔστω· στασιάζουσι μὲν περὶ τῆς ψυχῆς, τὰ δὲ λοιπὰ περὶ αὐτῆς ὁμονοοῦντες ἀπεφήναντο; καὶ ἄλλοι τὴν ἡδονὴν αὐτῆς, ὁ μὲν τις ἀγαθὸν καλεῖ, ὁ δέ τις κακόν, ὁ δὲ αὖ μέσον ἀγαθοῦ καὶ κακοῦ. τὴν δὲ φύσιν αὐτῆς, οἱ μὲν ἀθάνατόν φασιν, οἱ δὲ θνητήν, οἱ δὲ πρὸς ὀλίγον ἐπιδιαμένουσαν, οἱ δὲ ἀποθηριοῦσιν αὐτήν, οἱ δὲ εἰς ἀτόμους διαλύουσιν, οἱ δὲ τρὶς ἐνσωματοῦσιν. οἱ δὲ τρισχιλίων ἐτῶν περιόδους αὐτῇ ὁρίζουσιν. καὶ γὰρ εἰ μηδὲ ἑκατὸν ἔτη ζῶντες περὶ τρισχιλίων ἐτῶν μελλόντων ἀπαγγέλλονται. ταῦτα οὖν τί χρὴ καλεῖν; ὡς μὲν ἐμοὶ δοκεῖ, τερατείαν, ἢ ἄνοιαν, ἢ μανίαν, ἢ στάσιν, ἢ ὁμοῦ πάντα. εἰ μὲν τι ἀλη-

# HERMIÆ PHILOSOPHI GENTILIVM PHILOSOPHORVM irrisio.

*Raphaele Seilero, interprete.*

BEATVS Apostolus Paulus, Corinthiis, qui iuxta Laconicam Græciam habitant, scribens, dilecti, cum pronunciauit sapientiam mundi huius apud Deum stultitiam esse, pręter rei veritatem locutus non est. Videtur enim mihi ab angelorum defectione principium repetiisse, cur philosophorũ decreta inter se neq; consentiãt, neq; approbentur. Nam eorum alii dicunt, animum ignem esse, vt Democritus: alii aërem, vt Stoïci: alii mentem, alii motionem, vt Heraclitus: alii exhalationem, alii vim à syderibus promanantem: alii numerum mouendi vi præditum, vt Pythagoras: alii aquam genitalem, vt Hippon, alii elementum ab elementis, alii harmoniam, vt Dinarchus, alii sanguinem, vt Critias: alii spiritum, alii vnionem, vt Pythagoras: & prisci diuersa. Quot de his sententiæ? quot philosophorum & sophistarum contendentium magis, quàm veritatem inuenientium, argumentationes? Verũ esto, de animo inter se dissentiant: nunquid verò de cęteris concordes pronunciauerunt? Atqui alius voluptatem eius bonum, alius malum, alius rursum medium inter bonum & malum appellat. Eius porrò naturam alii immortalem, alii mortalem esse aiunt, alii ad paruum aliquod tempus permanere: alii eam in bestiarum conditiones deuoluunt, alii in corpora indiuidua dissoluunt, alii ter ad corpora transire, alij ter mille annorum circuitum ei præfiniunt. Et qui ne centum quidem annos viuunt, de tribus futuris annorum millibus pollicentur. Hæc igitur quid aliud nominanda sunt, quàm, vt mihi sanè videtur, portentum, aut dementia, aut insania, aut hæc simul omnia? Quod si verum ali-

quid inuenerunt, aut eadem proferant, aut alius alij aſſentiatur: tunc & ego libens eis obtemperabo. Verùm illi animum diuellunt, atque in diuerſas partes trahunt, alius in aliam naturam, alius in aliam eſſentiam, materiam ex materia mutantem. Fateor enim, me crebrã rerum conuerſionẽ moleſtè ferre. Nunc immortalis ſum, & gaudeo: nunc contra mortalis fio, & ploro: mox in indiuidua corpora ſaluor, aqua fio, fio aër, fio ignis: paulo pòſt nec aërem, nec ignem, ſed feram me facit, piſcem me facit. Itaque viciſſim fratres habeo delphinos: cum verò me intueor, corpus pertimeſco, & neſcio quo nomine id vocem, hominémne, an canem, an lupum, an taurum, an auem, an ſerpentem, an draconem, an chymæram. In cunctas enim beſtias, ab illis ſapientiæ ſtudioſis commutor, terreſtres, aquatiles, volucres, multiformes, agreſtes, cicures, mutas, vocales, bruta, ratione munitas. Nato, volo, ſublimis in aëre feror, ſerpo, curro, ſedeo. Offert autem ſeſe Empedocles, & arbuſtum me facit. Cũ igitur hominis animum philoſophi concordes deprehendere non poſſint, multo minus, de diis, aut mundo, verum pronunciare poterunt. Etenim ea fortitudine præditi ſunt, ne ſtuporem potius dicam. Nam qui ſuum animum inuenire nequeunt, ipſorum deorum non perſcrutabuntur: & qui ſuum corpus ignorant, ſuperuacaneum in mundi natura indaganda laborem ſumunt. In naturæ certè principiis alii aliis ſummoperè aduerſantur. Vbi Anaxagoras me exceperit, hæc docebit: Mens omnium eſt initium, eaque cauſa & omnium domina eſt, & ordinem confuſis præbet, & motionem immobilibus, & diſcrimen cõmiſtis, & ornatum inornatis. Hæc cum dicit Anaxagoras, amicus mihi eſt, & ipſius ſententiæ me ſubiicio. At obſiſtunt illi Meliſſus & Parmenides: quorum hic poëticis etiam verſibus prædicat, hoc quod ſit, vnum & æternum, & infinitum, & immobile, & cuiuis ſimile eſſe. Rurſus igitur neſcio, quo pacto in hanc opinionem concedo. Parmenides Anaxagoram animo meo expellit. Poſtquam autem me firmam habere ſententiam exiſtimo, Anaximenes vices excipiens, contrarium vociferatur. Imò dico tibi, vniuerſum quod eſt, id aër eſt: qui denſatus & concretus, aqua fit: ſin

A θῶς, εὑρήκασιν, ὁμονοησάτωσαν, ἢ συγκατα-
τεθήτωσαν, κἀγὼ τότε ἄσμενος αὐτοῖς πειθή-
σομαι. εἰ δὲ ἀντισπῶσι τὴν ψυχὴν, καὶ ἀν-
θέλκουσιν, ἄλλως εἰς ἄλλην φύσιν, ἕτερος δὲ
εἰς ἑτέραν οὐσίαν, ὕλην δὲ ἐξ ὕλης μεταβάλ-
λουσιν. ὁμολογῶ γὰρ ἄχθεσθαι τῇ παλιῤῥοίᾳ τῶν
πραγμάτων. νῦν μὲν ἀθάνατός εἰμι καὶ γέ-
γηθα. νῦν δ' αὖ θνητὸς γίνομαι, καὶ δακρύω·
ἄρτι δὲ εἰς ἀτόμους διαλύομαι, ὕδωρ γίνομαι,
καὶ ἀὴρ γίνομαι, πῦρ γίνομαι· εἶτα μετ' ὀλίγον,
οὔτε ἀὴρ, οὔτε πῦρ, θηρίον με ποιεῖ, ἰχθύν με
B ποιεῖ. πάλαι οὖν ἀδελφοὺς ἔχω δελφῖνας, ὅταν
δὲ ἐμαυτὸν ἴδων φοβοῦμαι τὸ σῶμα, καὶ οὐκ
οἶδα ὅπως αὐτὸ καλέσω, ἄνθρωπον, ἢ κύνα, ἢ
λύκον, ἢ ταῦρον, ἢ ὄρνιν, ἢ ὄφιν, ἢ δράκοντα, ἢ
χίμαιραν. εἰς πάντα γὰρ τὰ θηρία ὑπὸ τῶν
φιλοσοφούντων μεταβάλλομαι, χερσαῖα, ἔνυ-
δρα, πτηνὰ, πολύμορφα, ἄγρια, τιθασά, ἄ-
φωνα, εὔφωνα, ἄλογα, λογικά· νήχομαι, ἵπτα-
μαι, πέτομαι, ἕρπω, θέω, καθίζω. ἔστι δὲ ὁ Ἐμ-
πεδοκλῆς, καὶ θάμνον με ποιεῖ. ὅπου τοίνυν τὴν
ἀνθρώπου ψυχὴν ὁμογνωμόνως εὑρεῖν οὐχ οἷοί
C τε τοῖς φιλοσοφοῦσι, σχολῇ γ' ἂν περὶ τῶν θεῶν,
ἢ περὶ κόσμου δύναιντο τἀληθὲς ἀποφήνασθαι.
καὶ γὰρ ταύτην ἀνδρείαν ἔχουσιν, ἵνα μὴ τὴν
ἐμπληξίαν εἴπω. εἰ γὰρ τὴν ἰδίαν ψυχὴν εὑρεῖν
οὐ δυνάμενοι, οὐ ζητοῦσι τὴν τῶν θεῶν αὐτῶν· καὶ
οἱ τὸ ἴδιον σῶμα οὐκ εἰδότες, τὴν τοῦ κόσμου φύ-
σιν περιεργάζονται; πάνυ γοῦν περὶ τὰς ἀρ-
χὰς τῆς φύσεως ἀνθίστανται ἀλλήλοις· ὅταν μὲν
Ἀναξαγόρας παραλάβῃ με, ταῦτα παιδεύει,
ἀρχὴ πάντων ὁ νοῦς, καὶ ἔστιν αἴτιος καὶ κύριος
τῶν ὅλων, καὶ παρέχει τάξιν τοῖς ἀτάκτοις, καὶ κί-
D νησιν τοῖς ἀκινήτοις, καὶ διάκρισιν τοῖς μεμιγμέ-
νοις, καὶ κόσμον τοῖς ἀκόσμοις. ταῦτα λέγων Ἀ-
ναξαγόρας ἐστί μοι φίλος, καὶ τῷ δόγματι πεί-
θομαι. ἀλλ' ἀνθίστανται τούτῳ Μέλισσος καὶ
Παρμενίδης. ὅ γε μὴν Παρμενίδης καὶ ποιη-
τικοῖς ἔπεσιν ἀνακηρύττει τὴν οὐσίαν ἓν εἶναι, καὶ
ἀΐδιον, καὶ ἄπειρον, καὶ ἀκίνητον, καὶ πάντῃ ὅμοιον.
πάλιν οὖν εἰς τοῦτο τὸ δόγμα οὐκ οἶδ' ὅπως με-
ταβάλλομαι· ὁ Παρμενίδης τὸν Ἀναξαγόραν
τῆς ἐμῆς ἐξήλασεν. ἐπειδὰν δὲ ἡγήσομαι δό-
γμα ἔχειν ἀκίνητον, Ἀναξιμένης ὑπολαβὼν
ἀντικέκραγεν· ἀλλὰ ἐγώ σοι φημὶ, τὸ πᾶν ἐστιν
ἀὴρ, καὶ οὗτος πυκνούμενος καὶ συνιστάμενος ὕδωρ·

καὶ ἀὴρ γίνεται. ἀραιούμενος δὲ καὶ διαχεόμενος, αἰθὴρ καὶ πῦρ. εἰς δὲ τὴν αὑτοῦ φύσιν ἐπανιὼν, ἀὴρ ἀραιός. εἰ δὲ καὶ πυκνωθῇ φησὶ ἐξαλλάσσεται. καὶ πάλιν αὐτοῦ τοῦτο μεθαρμόζομαι, καὶ τὸν Ἀναξιμένην φιλῶ. ὁ δὲ Ἐμπεδοκλῆς ἀντικρὺς ἕστηκεν ἐμβριμούμενος, καὶ ἀπὸ τῆς Αἴτνης μέγα βοῶν· ἀρχαὶ τῶν πάντων ἔχθρα καὶ φιλία, ἡ μὲν συνάγουσα, ἡ δὲ διακρίνουσα· καὶ τὸ νεῖκος αὐτῶν ποιεῖ τὰ πάντα. ὁρίζομαι δὲ αὐτὰ καὶ ὅμοια, καὶ ἀνόμοια, καὶ ἄπειρα, καὶ πέρας ἔχοντα, καὶ ἀΐδια, καὶ γινόμενα. Εὖγε ὦ Ἐμπεδόκλεις, ἕπομαί σοι καὶ μέχρι τῶν κρατήρων τοῦ πυρός. ἀλλ' ἐπὶ θάτερα Πρωταγόρας ἑστηκὼς ἀνθέλκει με, φάσκων, ὅρος καὶ κρίσις τῶν πραγμάτων ὁ ἄνθρωπος, καὶ τὰ μὲν ὑποπίπτοντα ταῖς αἰσθήσεσιν ἐστὶν πράγματα· τὰ δὲ μὴ ὑποπίπτοντα οὐκ ἔστιν ἐν τοῖς εἴδεσι τῆς οὐσίας. τούτῳ τῷ λόγῳ κολακευόμενος ὑπὸ Πρωταγόρου, τέρπομαι, ὅτι τὸ πᾶν ἢ τὸ πλεῖστον τῷ ἀνθρώπῳ μένει. ἄλλαχόθεν δέ μοι Θαλῆς τὴν ἀλήθειαν νεύει, ὁριζόμενος ὕδωρ τοῦ παντὸς ἀρχὴν, καὶ ἐκ τοῦ ὑγροῦ τὰ πάντα συνίσταται, καὶ εἰς ὑγρὸν ἀναλύεται, καὶ ἡ γῆ ἐπὶ ὕδατος ὀχεῖται. διὰ τί τοίνυν μὴ πείθω Θαλῇ τῷ πρεσβυτέρῳ τῶν Ἰώνων; ἀλλ' ὁ πολίτης αὐτοῦ Ἀναξίμανδρος τοῦ ὑγροῦ πρεσβυτέραν ἀρχὴν εἶναι λέγει τὴν ἀΐδιον κίνησιν, καὶ ταύτῃ τὰ μὲν γεννᾶσθαι, τὰ δὲ φθείρεσθαι. καὶ δὴ τοίνυν πιστὸς Ἀναξίμανδρος ἔστω, καὶ μὴν οὐκ εὐδοκιμεῖν Ἀρχέλαος, ἀποφαινόμενος τῶν ὅλων ἀρχὰς θερμὸν καὶ ψυχρόν; ἀλλὰ καὶ τούτου πάλιν ὁ μεγαλόφωνος Πλάτων οὐχ ὁμολογεῖ, λέγων ἀρχὰς εἶναι θεὸν καὶ ὕλην, καὶ παράδειγμα. νῦν μὲν καὶ δὴ πέπεισμαι. πῶς γὰρ οὐ μέλλω πιστεύειν φιλοσόφῳ τῷ τοῦ Διὸς ἅρμα πεποιηκότι; κατόπιν δὲ αὐτοῦ μαθητὴς Ἀριστοτέλης ἕστηκε, ζηλοτυπῶν τὸν διδάσκαλον τῆς ἁρματοποιίας. οὗτος ἀρχὰς ἄλλας ὁρίζεται, τὸ ποιεῖν, καὶ τὸ πάσχειν. καὶ τὸ μὲν ποιοῦν ἀπαθὲς εἶναι, τὸν αἰθέρα· τὸ δὲ πάσχον ἔχον ποιότητας τέσσαρας, ξηρότητα, ὑγρότητα, θερμότητα, ψυχρότητα. τῇ γὰρ τούτων εἰς ἄλληλα μεταβολῇ πάντα γίνεται καὶ φθείρεται. κεκμήκαμεν ἤδη μεταμελόμενοι ἄνω καὶ κάτω τοῖς δόγμασι, πλὴν ἔτι γε τῆς Ἀριστοτέλους γνώμης ἔσομαι, καὶ μηκέτι μοι μηδὲ εἷς λόγος ὀχλείτω. ἀλλὰ τί δὴ τὰ πάθοιμ' ἄν; νῦν ἐρεσκεποῦσι γὰρ

A rarescat & diffundatur, æther & ignis: in suam vero naturam reuersus, aër liquidus: sin densetur, inquit, mutatur, & rursus in hanc quoque sententiam transeo, & iam Anaximenem diligo. Sed Empedocles contrarius obstat, minas iactans, & ab Ætna magnum clamitans: principia omnium sunt inimicitia & amicitia: quarum hæc congregat, illa dissipat, & earum contentio cuncta facit. Definio autem ea, & similia esse, & dissimilia: & infinita, & extremum habentia: & æterna, & facta. Euge Em-
B pedocles te sequor, etiam vsque ad crateres ignis. Ab altera autem parte stans Protagoras me distrahit, dicens: terminus & iudicium rerum, homo est: & quæ in sensus cadunt, res sunt: quæ vero in eos non cadunt, ne in naturæ quidem formis existunt: hoc verò sermone à Protagora delinitus, delector, quod aut omnia, aut certè plurima, homini relinquantur. Aliunde autem Thales veritatem mihi suggerit, aquam vniuersorum esse primordium statuens, & ex humido cuncta constare, & in humidū resolui, & terram in aqua ferri. Cur igi-
C tur Thaleti non crediderim, Ionum antiquissimo? Verùm ciuis eius Anaximāder æternam illam motionem humido vetustiorem esse dicit, eáque alia oriri, alia interire. Itaque fides Anaximandro adhiberi debet. Nónne verò celebratur Archelaus? qui vniuersitatis principiū esse calidum & frigidū statuit. Sed huic magniloquus Plato non assentitur, qui rerum exordia, Deum, & materiem, & exemplar esse dixit. Iam verò persuasū mihi est. Quid ni verò? cum philosopho qui Iouis currum etiam fecerit, creditu-
D rus sim? A tergo autem stat eius discipulus Aristoteles, qui magistrum ob currús fabricationem illam æmulatur. Ille alia principia describit, facere nimirum & pati. Ac id quidem quod faciat nulla re affici, videlicetætherē: id verò quod patiatur, quatuor habere qualitates: ariditatem, humiditatem, caliditatem, frigiditatem: horum enim mutua inter se mutatione omnia & oriri, & interire. Defatigatus iam sum, sursum ac deorsum opinionibus iactatus. Verum Aristotelis sententiæ stabo, neque vlla amplius sentētia tumultū mihi concitabit. Sed quid agam? nam senes his vetu-

ſtiores, animi mei neruos incidunt: Pherecydes, qui principia eſſe dixit, Iouem, Tellurem, & Saturnum: Iouem ætherem, Tellurem terram, Saturnum tempus. Ac ætherem quidem producere, terram autem ferre: tempus verò eſſe, in quo fiant omnia. At inter ſenes illos etiam eſt æmulatio. Etenim hæc omnia Leucippus nugas eſſe exiſtimans, primordia eſſe dicit, infinita & immobilia, & minima: & ſubtilia ſurſũ ferri, ignem & aërem fieri. craſſa autem infrà ſubſiſtere, in aquam ac terram cõuerti: Quo vſque tandem talia edoceor, veri tamẽ nihil addiſco? Niſi Democritus ab hoc errore me liberet, demõſtrãs, initia eſſe id quod ſit, & id quod non ſit: Ac id quod ſit, eſſe plenum: quod verò non ſit, eſſe vacuum. Plenum autem in vacuo vel conuerſione, vel figura, efficere omnia. Fortaſſis autem bono Democrito aſſentirer, & vnà cum eo ridere vellem, niſi à ſententia me deduceret Heraclitus ſimul & plorans, & dicens: Vniuerſorum exordium eſt ignis. Duæ autem ipſius affectiones, raritas & denſitas, quarum altera facit, altera patitur: altera coagmentat, altera ſeparat. Abunde iam ſatur ſum, atque etiam tot principiis inebriatus. Sed & illinc Epicurus me adhortatur, vt nequaquam pulchram ſuam de atomis & de vacuo opinionem, contumelia afficiam. nam horum multiplici & multiformi complexione cuncta & oriri, & interire. Nõ contradico tibi Epicure, vir optime: ſed Cleanthes capite è puteo elato, ſententiam tuam deridet. Itaque & ipſe vera principia haurio, Deum nimirum & materiam: ac ſtatuo, terram in aquam migrare, aquam in aërem ferri, ignem ad terræ proxima accedere: animum autem per totum mundum penetrare, cuius partem aliquam nos adeptos animari. Cum autem horum tantus ſit numerus, alia mihi multitudo ab Aphrica affluit. Carneades & Clitomachus, corũque ſectatores, qui omnium aliorum placita conculcant, ipſi verò planè pronunciant, vniuerſa incomprehenſa eſſe, & veritati ſemper falſam quandam imaginationem eſſe proximam. Quid igitur agam poſt tanti temporis ærumnas? quo pacto tot opiniones ex animo meo effundam? Si enim nihil comprehenſũ eſt, & veritas homines deſerit, & celebrata philoſophia vmbras potius conſe-

A μου τὴν ψυχὴν ἀρχαιότεροι τούτων γέροντες. Φερεκύδης μὲν ἀρχὰς εἶναι λέγων Ζῆνα, καὶ Χθονίην, καὶ Κρόνον. Ζῆνα μὲν τὸν αἰθέρα, Χθονίην δὲ τὴν γῆν, Κρόνον δὲ τὸν χρόνον. ὁ μὲν αἰθὴρ τὸ ποιοῦν, ἡ δὲ γῆ τὸ πάσχον, ὁ δὲ χρόνος ἐν ᾧ τὰ γινόμενα. ζηλοτυπίαι τοίνυν τῶν γερόντων πρὸς ἀλλήλους. ταῦτα γάρ τοι πάντα ὁ Λεύκιππος λῆρον ἡγούμενος, ἀρχὰς εἶναι φησὶ τὰ ἄπειρα, καὶ ἀκίνητα, καὶ ἐλάχιστα· καὶ τὰ μὲν λεπτομερῆ ἄνω χωρήσαντα, πῦρ καὶ ἀέρα γενέσθαι· τὰ δὲ παχυμερῆ κάτω ὑποστάντα, ὕδωρ

B καὶ γῆν. μέχρι που τὰ τοσαῦτα διδάσκομαι, μηδὲν ἀληθὲς μανθάνων; πλὴν εἰ μή τι γε Δημόκριτος ἀπαλλάξει με τῆς πλάνης, ἀποφαινόμενος ἀρχὰς τὸ ὂν, καὶ τὸ μὴ ὄν· καὶ τὸ μὲν ὂν πλῆρες, τὸ δὲ μὴ ὂν κενόν· τὸ δὲ πλῆρες ἐν τῷ κενῷ τροπῇ, ἢ ῥυσμῷ ποιεῖ τὰ πάντα, ἴσως ἂν πειθείην τῷ καλῷ Δημοκρίτῳ, καὶ βουλοίμην ἂν σὺν αὐτῷ γελᾶν, εἰ μὴ μεταπείθοι με Ἡράκλειτος, κλαίων ὁμοῦ καὶ λέγων, ἀρχὴ τῶν ὅλων τὸ πῦρ. δύο δὲ αὐτοῦ πάθη, ἀραιότης καὶ πυκνότης. ἡ μὲν ποιοῦσα, ἡ δὲ πάσχουσα. ἡ μὲν

C συγκρίνουσα, ἡ δὲ διακρίνουσα· ἱκανῶς ἔχει μοι, κἂν ἤδη μεθύω ταῖς τοσαύταις ἀρχαῖς· ἀλλά με παρακαλεῖ κἀκεῖθεν Ἐπίκουρος, μηδαμῶς ὑβρίσαι τὸ καλὸν αὐτοῦ δόγμα, τῶν ἀτόμων καὶ τοῦ κενοῦ. τῇ γὰρ τούτων συμπλοκῇ πολυτρόπῳ καὶ πολυσχηματίστῳ τὰ πάντα γίνεται καὶ φθείρεται. οὐκ ἀντιλέγω σοι βέλτιστε ἀνδρῶν Ἐπίκουρε· ἀλλ᾽ ὁ Κλεάνθης ἀπὸ τοῦ φρέατος ἐπάρας τὴν κεφαλὴν, καταγελᾷ σοῦ δόγματος, καὶ αὐτὸς ἀνιμῶ τὰς ἀληθεῖς, θεὸν καὶ ὕλην· καὶ τὴν μὲν γῆν μεταβάλλειν εἰς ὕδωρ, τὸ δὲ ὕδωρ εἰς ἀέρα,

D τὸν δὲ ἀέρα φέρεσθαι, τὸ δὲ πῦρ εἰς τὰ περίγεια χωρεῖν, τὴν δὲ ψυχὴν δι᾽ ὅλου τοῦ κόσμου διήκειν, ἧς μέρος μετέχοντος ἡμᾶς ἐμψυχοῦσθαι. τούτων τοσούτων ὄντων, ἄλλο μοι πλῆθος ἀπὸ Λιβύης ἐπιρρεῖ, Καρνεάδης, καὶ Κλιτόμαχος, καὶ ὅσοι τούτων ὁμιληταὶ, πάντα τὰ τῶν ἄλλων δόγματα καταπατοῦντες· αὐτοὶ δὲ ἀποφαινόμενοι διαρρήδην ἀκατάληπτα εἶναι τὰ πάντα. καὶ ἀεὶ τῇ ἀληθείᾳ φαντασίαν ἀεὶ παράκεισθαι ψευδῆ. τί τοίνυν πάθω τοσούτῳ χρόνῳ ταλαιπωρήσας; πῶς δὲ μου τῆς γνώμης ἐκχέω τὰ τοσαῦτα δόγματα; εἰ γὰρ μηδὲν εἴη καταληπτὸν, ἀλήθεια μὲν ἐξ ἀνθρώπων οἴχεται, ἡ δὲ ὑμνουμένη φιλοσο-

φία, σκιομαχεῖ μᾶλλον ἢ τὴν τῶν ὄντων ἐπιστήμην ἔχει. ἄλλοι τοίνυν ἀπὸ τῆς παλαιᾶς φυλῆς, Πυθαγόρας καὶ οἱ τούτου συμφυλέται, σεμνοὶ καὶ σιωπηλοί, παραδιδόασιν ἄλλα μοι δόγματα, ὥσπερ μυστήρια. καὶ τοῦτο δὴ τὸ μέγα καὶ ἀπόρρητον τὸ αὐτὸς ἔφη, ἀρχὴ τῶν πάντων ἡ μονάς· ἐκ δὲ τῶν σχημάτων αὐτῆς, καὶ ἐκ τῶν ἀριθμῶν τὰ στοιχεῖα γίγνεται. καὶ τούτων ἑκάστου τὸν ἀριθμόν, καὶ τὸ σχῆμα, καὶ τὸ μέτρον οὕτω πως ἀποφαίνεται· τὸ μὲν πῦρ ὑπὸ τεσσάρων καὶ εἴκοσι τριγώνων ὀρθογωνίων συμπληροῦται, τέσσαρσιν ἰσοπλεύροις περιεχόμενον. ἕκαστον ἰσόπλευρον σύγκειται ἐκ τριγώνων ἕξ, ὅθεν δὲ καὶ πυραμίδι προσεικάζουσιν αὐτό. ὁ δὲ ἀὴρ ὑπὸ τεσσαράκοντα ὀκτὼ τριγώνων συμπληροῦται περιεχόμενον ἰσοπλεύροις ὀκτώ. εἰκάζεται δὲ ὀκταέδρῳ, ὃ περιέχεται ὑπὸ ὀκτὼ τριγώνων ἰσοπλεύρων, ὧν ἕκαστον εἰς ἓξ ὀρθογώνια διαιρεῖται, ὥστε γίνεσθαι τεσσαράκοντα ὀκτὼ τὰ πάντα. τὸ δὲ ὕδωρ ὑπὸ ἑκατὸν εἴκοσι περιεχόμενον, εἰκάζεται δὲ εἰκοσαέδρῳ, ὃ δὴ συνέστηκεν ἐξ ἴσων καὶ ἰσοπλεύρων τριγώνων εἴκοσι * δὲ ρκη΄. ὁ δὲ αἰθὴρ συμπληροῦται δώδεκα πενταγωνίοις ἰσοπλεύροις, καὶ ὅμοιός ἐστι δωδεκαέδρῳ. ἡ γῆ συμπληροῦται ἐκ τριγώνων μὲν η΄. καὶ μ΄. περιέχεται δὲ καὶ τετραγώνοις ἰσοπλεύροις ἕξ. ἔστι δὲ ὅμοια κύβῳ· ὁ γὰρ κύβος ὑπὸ ϛ΄. τετραγώνων περιέχεται, ὧν ἕκαστον εἰς δ΄. τρίγωνα· ὥστε γίνεσθαι τὰ πάντα κδ΄. τὸν μὲν δὴ κόσμον ὁ Πυθαγόρας μετρεῖ. ἐγὼ δὲ πάλιν ἔνθεος γενόμενος, τῆς μὲν οἰκίας καὶ πατρίδος, καὶ τῆς γυναικός, καὶ τῶν παιδίων καταφρονῶ, καὶ τούτων οὐκέτι μοι μέλει. εἰς δὲ τὸν αἰθέρα αὐτὸν αὐτὸς ἀνέρχομαι, καὶ τὸν πῆχυν παρὰ Πυθαγόρου λαβών, μετρεῖν ἄρχομαι τὸ πῦρ. οὐ γὰρ ἀπόχρη μετρῶν ὁ Ζεύς· ἀλλ' εἰ μὴ καὶ τὸ μέγα ζῶον, τὸ μέγα σῶμα, ἡ μεγάλη ψυχή, αὐτὸς εἰς τὸν οὐρανὸν ἀνέλθοιμι, καὶ μετρήσαιμι τὸν αἰθέρα, οἴχεται ἡ τοῦ Διὸς ἀρχή. ἐπειδὰν δὲ μετρήσω, καὶ ὁ Ζεὺς παρ' ἐμοῦ μάθῃ, πόσας γωνίας ἔχει τὸ πῦρ· πάλιν ἐξ οὐρανοῦ καταβαίνω, καὶ φαγὼν ἐλαίας καὶ σῦκα καὶ λάχανα, τὴν ταχίστην ἐπὶ τὸ ὕδωρ γίνομαι, καὶ κατὰ πῆχυν καὶ δάκτυλον καὶ ἡμιδάκτυλον μετρῶ τὴν ὑγρὰν οὐσίαν, καὶ τὸ βάθος αὐτῆς ἀναμετρῶ, ἵνα καὶ Ποσειδῶνα διδάξω, πόσης ἄρχει θαλάσσης.

A ctatur, quam rerum scientiam compre-hensam habet. Iam verò alii ex antiqua tribu, Pythagoras, & tribules eius, graues & taciturni, alias mihi opiniones, quasi Cereris quædam initia tradũt, atque etiam illud magnum & arcanum IPSE DIXIT; omnium initiũ est vnio, è cuius figuris & numeris elementa fiunt. Atque eorum cuiuslibet numerum, formam, & mensuram ita demonstrat: ignẽ quatuor & viginti triangulis rectãgulis perfici, & quatuor æquis lateribus contineri. Vnumquodque autem æquilaterum sex triangulis rectangulis constare. vnde eum pyramidi assimilant. B Aërem autem octo & quadraginta rectis triangulis impleri, & æqualibus lateribus octo contineri. Æquiparari autem figuræ octonorum sessuum, quæ octo triangulis æqualium laterum contineatur, quorum singula in sex rectos angulos diuidantur. Itaque anguli omnes fiunt octo & quadraginta. Aquam autem centum & viginti contineri, & comparari figuræ viginti sessuum, quæ ex æqualibus constat, & triangulis æquorum laterum sexies viginti * * Ætherem verò perfici duodecim quinquangulis æqualium laterum, & similem esse fi- C guræ duodecim sessuum. Terram compleri triangulis octo & quadraginta: cõtineri autem sex triangulis æqualium laterum, & cubo similem esse. Cubum enim sex quadrangulis contineri, quorum singuli quatuor triangulos habeãt: vt summatim omnia fiant quatuor & viginti. Mundum igitur Pythagoras ita metitur. ego vero rursum numine afflatus, domum, patriam, vxorem, liberos contemno, neque amplius curo: verum in ipsum ætherem ascendo, & cubito à Pythagora sumpto, ignem metiri inci- D pio. Nec enim satis est metiri Iouem: sed nisi etiam ego magnum illud animal, magnum corpus, magnus animus, ipse in cœlum venero, & dimetior ætherem, interibit Iouis imperium. Vbi mensus fuero, & Iupiter ex me cognouerit, quot angulos habeat ignis, rursus ex cœlo descendo: & oliuas comedens, ficus, ac olera, quam primum ad aquam me confero, & per vlnam & digitum & semidigitum, humidam naturam metior, & profunditatem eius supputo, vt Neptunum quoque doceam quantum sit mare, cui imperat.

A Nam terram quidem vniuersam vna die obeo, & numerum eius colligo, & mensuram, & figuras. persuasum enim habeo, me ne dodrantem quidem totius mundi prætermissurum, cum talis & tantus sim. Præterea etiam stellarum numerum & piscium & bestiarum noui, & mundo in bilancem imposito, facile pondus eius possum cognoscere. Hactenus quidem animus meus his rebus intentus, totius vniuersitatis imperium affectat. Prospiciens autem Epicurus, mihi ait: tu quidem, amice, vnum duntaxat mundum dimensus es, cum sint B multi mundi & infiniti. Itaque denuo dicere cogor multos cœlos, alios æthereς, eosque multos. Age verò non amplius morans comparato paucorum dierum commeatu, Epicuri mundos peragrato, terminos igitur Thetyn & Oceanum facile transuolo. in nouum autem mundum, & quasi in aliam ciuitatem ingressus, cuncta paucis diebus metior. illinc iterum transcendo in tertium mũdum: postea in quartum, & quintum, & decimum, & centesimum, & millesimum, & quo tandem vsque? omnia C enim iam ignorantiæ tenebræ sunt, & nigra fraus & infinitus error, & imperfecta cogitatio, & incomprehensa iustitia: nisi ipsas etiam atomos numerare velim, è quibus tot mundi orti sunt, vt nihil inexcussum prætermittam, præsertim res tam necessarias, & vtiles, vnde & domus & ciuitatis fœlicitas pendet. Hæc itaque enarraui, vt contrarietatem quæ in eorum est opinionibus patefacerem, & inquisitionem rerum quam suscipiunt, in infinitum vagari, & nullo termino contineri, eorumque finem esse inexplicabilem atque inutilem: quippe D quod nulla re euidenti, & ratione perspicua confirmetur.

A τὴν μὲν γῆν ἅπασαν ἡμέρᾳ περιέρχομαι, συλλέγων αὐτῆς τὸν ἀριθμὸν καὶ τὸ μέτρον, καὶ τὰ σχήματα. πέπεισμαι γὰρ, ὅτι τοῦ κόσμου πάντα οὐδὲ σπιθαμὴν παρήσω, τοιοῦτος καὶ τηλικοῦτος ὤν. οἶδα δὲ ἐγὼ καὶ τῶν ἀστέρων τὸν ἀριθμὸν, καὶ τῶν ἰχθύων, καὶ τῶν θηρίων, καὶ ζυγῷ τὸν κόσμον ἱστὰς, εὐκόλως τὸν σταθμὸν αὐτοῦ δύναμαι μαθεῖν. ἀμφὶ μὲν δὴ ταῦτα μέχρι νῦν ἐσπούδακεν ἡ ψυχή μου, τῶν ὅλων ἀρχήν. προσκύψας δέ μοι φησὶν Ἐπίκουρος, σὺ μὲν δὴ κόσμον ἕνα μεμέτρηκας, ὦ φιλότη· εἰσὶ δὲ κόσμοι B πολλοὶ καὶ ἄπειροι. πάλιν οὖν ἀναγκάζομαι εἰπεῖν οὐρανοὺς πολλοὺς, αἰθέρας ἄλλους, καὶ τούτους πολλούς. ἄγε δὴ μηκέτι μέλλων ἐπισιτισάμενος ὀλίγων ἡμερῶν εἰς τοὺς Ἐπικουρείους κόσμους ἀποδήμησον. τὰ μὲν οὖν πέρατα Τηθὺν καὶ Ὠκεανὸν εὐκόλως ὑπερίπταμαι. εἰσελθὼν δὲ εἰς κόσμον κενὸν, καὶ ὥσπερ εἰς ἄλλην πόλιν, μετρῶ τὰ πάντα ὀλίγαις ἡμέραις. κἀκεῖθεν ὑπερβαίνω πάλιν εἰς κοσμόν. εἶτα εἰς τέταρτον, καὶ πέμπτον, καὶ δέκατον, καὶ ἑκατοστὸν, καὶ C μέχρι ποῦ; ἤδη γάρ μοι σκότος ἀγνοίας ἅπαντα, καὶ ἀπάτη μέλαινα, καὶ ἄπειρος πλάνη, καὶ ἀτελὴς φαντασία, καὶ ἀκατάληπτος ἄγνοια. πλὴν εἰ μέλλων κατὰ τὰς ἀτόμους αὐτὰς ἀριθμεῖν, ἐξ ὧν οἱ τοσοῦτοι κόσμοι γεγόνασιν, ἵνα μηδὲν ἀνεξέταστον παραλείπω· μάλιστα τῶν οὕτως ἀναγκαίων καὶ ὠφελίμων ἐξ ὧν οἶκος καὶ πόλις εὐδαιμονᾷ. ταῦτα μὲν τοίνυν διεξῆλθον, βουλόμενος δεῖξαι τὴν ἐν τοῖς δόγμασιν οὖσαν αὐτῶν ἐναντιότητα, καὶ ὡς εἰς ἄπειρον αὐτοῖς καὶ ἀόριστον πρόεισιν ἡ ζήτησις τῶν πραγμάτων, D καὶ τὸ τέλος αὐτῶν ἀτέκμαρτον, καὶ ἄχρηστον, ἔργῳ μηδενὶ προδήλῳ καὶ λόγῳ σαφεῖ βεβαιούμενον.

FINIS.